# TEZAUR LITURGIC

**3 FEBRUARIE**

**HARALAMBOS BOUSIA**

# PARACLISUL
# SF.DIACON-MUCENIC
# TARSIZIE
# DE LA ROMA

**ATENA,2020**


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# Παρακλητικός Κανών Παιδομάρτυρος ΤΑΡΣΙΖΙΟΥ τοῦ ἐν Ῥώμῃ

**Ποίημα Δρ.Χαραλάμπους Μπούσια**

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ ρμβ΄ (142) Ψαλμός καί τό Θεὸς Κύριος μετά τῶν στίχων αὐτοῦ. Εἶτα τά Τροπάρια. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Τὸν παιδομάρτυρα τιμήσωμεν Ῥώμης, ὡς Μυστηρίων τῶν Ἀχράντων προστάτην, δαρμοὺς τὸν ὑπομείναντα τῶν λίθων βολάς, ἄπιστοι ἃς ἔῤῥιψαν κατ᾽ αὐτοῦ, οἴμοι, παῖδες, εὐσταλῆ ὡς πρώταθλον τοῦ σταδίου, θεόθεν, αὐτοῦ ἱκέταις ἐν τοῖς οὐρανοῖς, τὸν Ζωοδότην Χριστὸν ἱλεούμενον.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Οὐ σιωπήσομεν ποτέ, Θεοτόκε, τὰς δυναστείας Σου λαλεῖν, οἱ ἀνάξιοι. Εἰ μὴ γὰρ Σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ Σοῦ· Σοὺς γὰρ δούλους σῴζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Ὁ Ν΄ (50) Ψαλμὸς.

Ὁ Κανὼν, οὗ ἡ ἀκροστιχίς· *Ταρσίζιε Παιδομάρτυς, νεότητα σκέπε. Χ.*

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.

Ταρσίζιε Μάρτυς, σοὺς ὑμνητὰς, συντήρει ἐχθίστου, παναλάστορος ἀσινεῖς, μανίας εὐχαῖς σου ἀσιγήτοις, πρὸς Ὅν ἠγάπησας Κτίστην καὶ Κύριον.

Ἀήττητε Μάρτυς, ἡμῶν φωνῶν, ἐπάκουσον τάχος, καὶ παράσχου ὡς συμπαθὴς, λιταῖς σου, Ταρσίζιε, θεόθεν, πιστῇ νεότητι ἄμφω ὑγίειαν.

Ῥανίσι, Ταρσίζιε θαυμαστέ, οἰκείων αἱμάτων, ὁ σὸν ἔνδυμα παιδικὸν, φοινίξας, ἀπόπλυνον τὸν ῥύπον, ἡμῶν παθῶν πρεσβειῶν σου τοῖς ῥεύμασι.

Θεοτοκίον.

Σεμνὴ Θεοτόκε, οἱ εὐσεβεῖς, ῥωννύμεθα πάντες, ἀντιλήψει Σου ἐναργεῖ, σεμνὴ Παναγία, προστασίᾳ, καὶ ἀρωγῇ ταχινῇ, Μητροπάρθενε.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος.

Ἰσχυρὰν ἐν ταῖς μάχαις, κατὰ παθῶν, ἔνδοξε, δεῖξον τὴν νεότητα, Μάρτυς, σώφρον Ταρσίζιε, διὰ Χριστοῦ, τοῦ Θεοῦ, τῆς μεταλήψεως, μάκαρ, Σώματος καὶ Αἵματος, ὧν ὤφθης πρόμαχος.

Ζωηρῶν Μυστηρίων, ἐν κόλποις ἃ ἔκρυπτες, ὑπεραμυνόμενος τούτων, Μάρτυς Ταρσίζιε, δαρμοὺς καὶ λίθων βολὰς, ὑπὸ ἀπίστων ὑπέστης, ὁ Χριστὸν ἱκέταις σου, καθιλεούμενος.

Ἰθυντὴρ νεολαίας, πρὸς οὐρανοὺς πέφηνας, ἀπλανής, Ταρσίζιε, χάριν, ἔχων ὡς ἔκτυπον, χριστομιμήτου ζωῆς, καὶ Μυστηρίων Ἀχράντων, πίστεως ὑπέρμαχος, ἄχρις ἀθλήσεως.

Θεοτοκίον.

Εὐσυμπάθητε Μῆτερ, ἡ τὸν Χριστὸν τέξασα, Κεχαριτωμένη Παρθένε, Θεογεννήτρια, τοῦ Ταρσιζίου εὐχαῖς, τοῦ Παιδομάρτυρος, ῥῦσαι, πειρασμῶν καὶ θλίψεων, Σοὶ τοὺς προστρέχοντας.

Ὁδήγησον, ταχύ, Ταρσίζιε Μάρτυς, πρὸς σωτηρίαν, τὴν νεότητα καὶ ἡμᾶς ἐκθύμως τιμῶντάς σε, ὡς πρόβολον θεῖον Παιδομαρτύρων.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Κάθισμα. Ἦχος β΄. Πρεσβεία θερμή.

Ὁ κρύπτων καλῶς τὰ Ἄχραντα Μυστήρια, τὸ Σῶμα Χριστοῦ καὶ Αἷμα τὸ πανάγιον, εὐσθενὲς Ταρσίζιε, ἐν ἀγκάλαις πιστῶν πρὸς μετάληψιν, δεσμίων ἄχρι σοῦ μαρτυρικοῦ, θανάτου, φρουρὸς ἴσθι νεότητος.

Ὠδὴ δ΄. Εἰσακήκοα, Κύριε.

Περιφρούρει, Ταρσίζιε, πάντας τοὺ ὑμνοῦντας τὸ σὸν μαρτύριον, οὓς καὶ ῥύου περιστάσεων, ἀρχεκάκου βλάβης καὶ στενώσεων.

Ἀλγηδόνων ἀπάλλαξον, καὶ πειρατηρίων δεινῶν ἱκέτας σου, Παιδομάρτυς γενναιότατε, τῶν Ἀγγέλων σύσκηνε, Ταρσίζιε.

Ἱκετῶν σου, Ταρσίζιε, Παιδομάρτυς ἄριστε, σκέπε φάλαγγας, παρ᾽ ἀπίστων ὁμηλίκων σου, ὁ ἀνηλεῶς δαρμοὺς δεξάμενος.

Θεοτοκίον.

Δὸς τοῖς Σὲ μακαρίζουσι, δαψιλῶς κατ᾽ ἄμφω, Μῆτερ, ὑγίειαν καὶ ἰσχύν, Θεογεννήτρια, ἔνεδρα συντρίψαι τοῦ ἀλάστορος.

Ὠδὴ ε΄. Φώτισον ἡμᾶς.

Ὄλβον ὡς σεπτὸν, κρύπτων Ἄχραντα Μυστήρια, ἐν ἀγκάλαις σου, Ταρσίζιε στεῤῥέ, χάριν θείαν σου ἱκέταις σου φανέρωσον.

Μάρτυς θαυμαστέ, ἐπευλόγει καὶ ἁγίαζε, τοὺς τιμῶντάς σου, Ταρσίζιε, λαμπρῶς, ἐν τῇ Ῥώμῃ τὸ πανένδοξον μαρτύριον.

Αἴγλης θεϊκῆς, καταξίωσον σοὺς πρόσφυγας, ἀνυμνοῦντάς σε ὡς Μάρτυρα Χριστοῦ, καὶ τὴν χάριν δεχομένων σου, Ταρσίζιε.

Θεοτοκίον.

Ῥῦσαι συμφορῶν, πειρασμῶν καὶ περιστάσεων, τοὺς προστρέχοντας τῇ Σῇ ἐπισκοπῇ, καὶ προνοίᾳ, Μητροπάρθενε, καὶ χάριτι.

Ὠδὴ στ΄. Τὴν δέησιν ἐκχεῶ.

Τοὺς μέλποντας χάριν σου, Ταρσίζιε, Παιδομάρτυς, πλῆσον πάντας σοφίας, καὶ σωφροσύνης, ὡς δρόσον τοὺς λίθων, σῶν ὁμηλίκων βολὰς ὁ οἰόμενος, ἀπίστων παίδων, ὧν σοφῶς, μετοχήν σου ἠρνήσω εἰς παίγνια.

Ὑπέρτιμε ἀθλητά, Ταρσίζιε, ὁ δαρμοὺς ἀνηλεῶς ὑπομείνας, καὶ μεταστὰς διὰ πτώσεως λίθων, πρὸς τὴν ἀγήρω ζωήν, πάντας ἴθυνον, τοὺς σὲ τιμῶντας πρὸς αὐτήν, τῇ σῇ χάριτι συνεπαγάλλεσθαι.

Σκοτόμαιναν ἀγνωσίας δίωξον, τῆς νεότητος ἡμῶν, Παιδομάρτυς, τῶν ἐνταλμάτων ἀνάτειλον ἦμαρ, Χριστοῦ τοῖς μέλπουσιν ἄθλους τιμίους σου, φωτὶ σῆς θείας ἀρωγῆς, καὶ θερμῆς πρὸς αὐτὴν ἀντιλήψεως.

Θεοτοκίον.

Νῦν ἅπαντες, Μῆτερ, εὐφημοῦμέν Σε, σωτηρίας ὡς πηγήν, Θεοτόκε, καὶ χαρμονῆς πολυχεύμονα κρήνην, τὴν δαψιλῶς ἀναβλύζουσαν νάματα, ἰσχύος, σθένος, χαρμονῆς, ὑγιείας πιστοῖς καὶ δυνάμεως.

Ὁδήγησον, ταχύ, Ταρσίζιε Μάρτυς, πρὸς σωτηρίαν, τὴν νεότητα καὶ ἡμᾶς ἐκθύμως τιμῶτάς σε, ὡς πρόβολον θεῖον Παιδομαρτύρων.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Κοντάκιον. Ἦχος β'. Τοῖς τῶν αἱμάτων σου.

Τῶν Μυστηρίων ὑπέρμαχε πίστεως, τῶν Παναχράντων, Ταρσίζιε πάνσεπτε, δαρμοὺς καὶ λίθων βολὰς καθυπέμεινας, ἐκ τῶν χειρῶν δι' αὐτὰ ὁμηλίκων σου, ὁ δι' ἡμᾶς τοῦ Κυρίου δεόμενος.

Προκείμενον. Ἦχος δ'. *Θαυμαστός, ὁ Θεός, ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Στ. *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ἰωάννην (Κεφ. ιε' 17-27, ιστ' 1-2).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ταῦτα ἐντέλλομαι ὑμῖν, ἵνα ἀγαπᾶτε ἀλλήλους. Εἰ ὁ κόσμος ὑμᾶς μισεῖ, γινώσκετε ὅτι ἐμὲ πρῶτον ὑμῶν μεμίσηκεν. Εἰ ἐκ τοῦ κόσμου ἦτε, ὁ κόσμος ἂν τὸ ἴδιον ἐφίλει· ὅτι δὲ ἐκ τοῦ κόσμου οὐκ ἐστέ, ἀλλ' ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου, διὰ τοῦτο μισεῖ ὑμᾶς ὁ κόσμος. Μνημονεύετε τοῦ λόγου οὗ ἐγὼ εἶπον ὑμῖν· οὐκ ἔστι δοῦλος μείζων τοῦ κυρίου αὐτοῦ. Εἰ ἐμὲ

ἐδίωξαν καὶ ὑμᾶς διώξουσιν· εἰ τὸν λόγον μου ἐτήρησαν καὶ τὸν ὑμέτερον τηρήσουσιν. Ἀλλὰ ταῦτα πάντα ποιήσουσιν ὑμῖν διὰ τὸ ὄνομά μου, ὅτι οὐκ οἴδασι τὸν πέμψαντά με. Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἴχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν. Ὁ ἐμὲ μισῶν καὶ τὸν πατέρα μου μισεῖ. Εἰ τὰ ἔργα μὴ ἐποίησα ἐν αὐτοῖς ἃ οὐδεὶς ἄλλος πεποίηκεν, ἁμαρτίαν οὐκ εἶχον.

Δόξα. Ταῖς τοῦ Ἀθλοφόρου…

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου…

Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι. Στ. *Ἐλέησόν με, ὁ Θεός…*

Εὔτολμε Ταρσίζιε, Χριστοῦ τῆς πίστεως γέρας, Παιδομάρτυς ἔνδοξε, Ἄχραντα Μυστήρια, ὁ ἐν κόλποις σου, ὥσπερ θησαύρισμα, θεῖον κατακρύψας, πρὸς δεσμίων πορευόμενος, πιστῶν μετάληψιν, ἄχρις εὐσθενοῦς μαρτυρίου σου, ἱκέτευε τὸν Ὕψιστον, εὔσπλαγχνον Θεὸν καὶ φιλάνθρωπον, δοῦναι σοῖς ἱκέταις, ὑγίειαν καὶ ῥῶσιν καὶ ἰσχὺν, καταπατῆσαι τὰ ἔνεδρα, τοῦ παγκάκου δαίμονος.

ᾨδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἐπηρείας ἐχθίστου, ἀνωτέρους συντήρει, τοὺς ἀνυμνοῦντάς σε, ἐκθύμως, Παιδομάρτυς, Ταρσίζιε

γενναῖε, Ῥώμης ἔμψυχον σέμνωμα, καὶ Ἐκκλησίας Χριστοῦ, ἀγλάϊσμα τὸ θεῖον.

Ὁδηγὸς νεολαίας, πρὸς ἀρχῶν εὐσεβείας, σεπτὴν προάσπισιν, Ταρσίζιε, ὑπάρχων, καθοδηγῶν μὴ παύσῃ, ταύτην βάκτρῳ σῆς χάριτος, πρὸς μετανοίας ὁδοὺς, καὶ σωτηρίας τρίβους.

Τῶν εὐχῶν σου ῥανίσι, καθαγίαζε πάντας, τοὺς εὐφημοῦντάς σε, ὡς βάθρον ἀριστείας, Ταρσίζιε, καὶ στῦλον, ἀδιάσειστον πίστεως, τοῦ Ζωοδότου Χριστοῦ, λαμπρῶς δοξάσαντός σε.

Θεοτοκίον.

Ἡ μεσίτρια πάντων, Παναγία Παρθένε, Θεογεννήτρια, βροτῶν, τῶν Σοὶ σπευδόντων, πρὸς τὸν Μονογενῆ Σου, εὐσυμπάθητον Κύριον, Αὐτὸν δυσώπει ἀεὶ, ὑπὲρ τῶν Σὲ ὑμνούντων.

ᾨδὴ η΄. Τὸν Βασιλέα.

Ταῖς σαῖς πρεσβείαις, τοὺς καταφεύγοντας ῥύου, ἀλγηδόνων, Ταρσίζιε Μάρτυς, πρὸς τὸν Ζωοδότην, καὶ Λυτρωτὴν τοῦ κόσμου.

Ἀνδρείας λύχνε, στεῤῥὲ Ταρσίζιε, ζόφον, φέγγει δίωξον τῆς χάριτός σου, τῶν παθῶν ἐξ ἔθνους, ἡμῶν τῆς νεολαίας.

Σὲ τῶν ὑμνούντων, ἰσχύος πλῆσον καρδίας, ὡς ἀγάπης Χριστοῦ ἐκμαγεῖον, καὶ Παιδομαρτύρων, Ταρσίζιε, ἀστέρα.

Θεοτοκίον.

Κλέος παρθένων, σκέπε καὶ φρούρει τοὺς πίστει, θαυμασίων Σου πλῆθος ὑμνοῦντας, Κεχαριτωμένη, Κυρία Θεοτόκε.

Ὠδὴ θ΄. Κυρίως Θεοτόκον.

Εὐλόγει καὶ συντήρει, ἀσινεῖς μανίας, ἐχθροῦ ἱκέτας θερμούς σου, Ταρσίζιε, Παιδομαρτύρων σεμνότης καὶ ἀγαλλίαμα.

Προστάτης νεολαίας, πέλεις, Παιδομάρτυς, τῆς εὐφημούσης σοὺς ἄθλους, Ταρσίζιε, χερσὶν ἀθλήσας ἀπίστων συνομιλήκων σου.

Εὐκλείας οὐρανίου, καταξίωσόν με, τὸν εὐλαβῶς σὲ ὑμνοῦντα, Ταρσίζιε, ὡς τῶν ἐν πόλῳ Ἀγγέλων λαμπρὸν ὁμόσκηνον.

Θεοτοκίον.

Χριστοῦ ἁγία Μῆτερ, Κεχαριτωμένη, Αὐτόν, μὴ παύσῃ θερμῶς ἱκετεύουσα, ὑπὲρ τῶν πίστει καὶ πόθῳ μακαριζόντων Σε.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν

Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σὲ μεγαλύνομεν.

Μεγαλυνάρια.

Ὑπεραμυνόμενος τοῦ Χριστοῦ, θείων Μυστηρίων, Παιδομάρτυς πανευσταλές, κέρας εὐσεβείας, Ταρσίζιε, ἐν Ῥώμῃ, λιθόλευστος ἀνῆλθες, πόλου πρὸς δώματα.

Χαίροις Παιδομάρτυς, ὁ τὰς βολὰς, λίθων ὥσπερ αὖραν, λογιζόμενος καὶ δαρμούς· χαίροις, ἐν τῇ Ῥώμῃ, Ταρσίζιε, ὁ στήσας, παιδίων πρὸ ἀπίστων, πίστεως τρόπαιον.

Πρότυπον νεότητος εὐσεβοῦς, φύλαξ καὶ προστάτης, ἀντιλήπτωρ καὶ βοηθὸς, ἄγρυπνος ὑπάρχεις, Ταρσίζιε παμμάκαρ, Παιδομαρτύρων Ῥώμης, θεῖον ἀγλάϊσμα.

Στήριζε νεότητα εὐσεβῆ, ὑπεράσπισίν σου, ἀνυμνοῦσαν τῶν τοῦ Χριστοῦ, Θείων Μυστηρίων, Ταρσίζιε, ἐν Ῥώμῃ, καὶ λιθοβολισμόν μου, τὸν ἱερώτατον.

Σὲ Χριστός, Ταρσίζιε εὐσθενές, Μάρτυς τροπαιοῦχε, κατηξίωσεν εἰς Αὐτὸν, οὐ μόνον πιστεύειν, ἀλλὰ καὶ πανανδρείως, ὑπὲρ Αὐτοῦ ἐν Ῥώμῃ, πάσχειν, πανεύφημε.

Παίδων καὶ ἐφήβων καὶ νεαρῶν, εὐσεβῶν ὑπάρχεις, σεμνολόγημα ἱερὸν, καὶ πυξίον θεῖον, Ταρσίζιε, Μαρτύρων, τῆς Ῥώμης ὡραιότης, καὶ ἀγαλλίαμα.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Παιδομάρτυς ἀνδρεῖε Χριστοῦ, Ταρσίζιε, ὁ μεταφέρων κρυφίως Χριστιανοῖς ἐν δεσμοῖς, πρὸς μετάληψιν τὰ Ἄχραντα Μυστήρια, καὶ πρὸς αὐτῶν ἀποφυγὴν, ὑπὸ παίδων μολυσμοῦ, ἀπίστων, σῶν ὁμηλίκων, δαρμοῖς καὶ λίθοις ἐκτάνθης, Χριστὸν ἡμῖν ὁ ἱλεούμενος.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ' ἣν ψάλλομεν τὸ ἑξῆς· Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου.

Παίδων εὐαγῶν ὑπογραμμόν, Ῥώμης καλλιμάρτυρα θεῖον, τῶν Μυστηρίων καλῶς, ὑπεραμυνόμενον τῆς Ἐκκλησίας ἡμῶν, τῶν Ἀχράντων τιμήσωμεν, Ταρσίζιον, πάντες, ἄχρις ἐναθλήσεως στεῤῥᾶς ὡς ἔνθερμον, πρέσβυν πρὸς Θεὸν καὶ μεσίτην, τὸν ἡμῖν δωρούμενον πᾶσι, τοῖς αὐτοῦ πρεσβείαις θεῖον ἔλεος.

Δέσποινα, πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων Σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

Δίστιχον.

*Ταρσίζιε, φερώνυμόν μοι εὐλόγει,*

*Παιδομάρτυς, Χαραλάμπης κραυγάζει σοι.*

